# TEZAUR LITURGIC

## 18 IUNIE

HARALAMBOS BOUSIA

# PARACLISUL SF.MUCENIC LEONTIE DE LA TRIPOLI FENICIEI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 18 ΙΟΥΝΙΟΣ ΛΕΟΝΤΙΟΣ ΜΑΡΤΥΣ ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὸν καθελόντα τὴν ἀπάτην εἰδώλων, καὶ ὁλοκάρπωμα γενόμενον θεῖον, ὑπὲρ Χριστοῦ τῆς πίστεως τιμῶντες λαμπρῶς, κράζομεν· Λεόντιε, στρατηλάτα γενναῖε, λίθον τῷ τραχήλῳ σου, ὁ δεινῶς ὑπομείνας, τῆς εὐσεβείας ἄγαλμα λαμπρόν, ἀνάδειξόν με, καὶ λίθον ἀτίμητον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Λεόντιε, ὁμολογεῖν Χριστὸν ἀξίωσόν με. Χ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Λεόντιε κλέος Αἰγινητῶν, καὶ θεῖε στρατάρχα, τῆς τοῦ Κτίσαντος στρατιᾶς, Αὐτὸν καθικέτευε διδόναι, τοῖς σὲ τιμῶσι κατ’ ἄμφω ὑγείαν.

Εὐΐλατον Κύριον καὶ Θεόν, δυσώπει ἀπαύστως, ὑπὲρ πάντων τῶν εὐλαβῶς, Λεόντιε Μάρτυς εὐφημούντων, τὰ ἐν σταδίῳ σεπτά σου παλαίσματα.

Ὁπλῖτα Κυρίου πανευσθενές, Λεόντιε Μάρτυς, τὰς ἀλόγους μου τῆς σαρκός, ὁρμὰς καθυπόταξον ταχέως, ἀδιαλείπτοις νοῒ σαῖς δεήσεσι.

*Θεοτοκίον*

Νεκρώσασα ἄχραντε τὰς ὁρμάς, παθῶν ἀκαθέκτων, τῆς ψυχῆς μου τῆς ῥυπαρᾶς, τῇ Σῇ ζωτικῇ ἐπιστασίᾳ, τῷ Σῷ Υἱῷ καὶ Θεῷ με οἰκείωσον.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἱλασμὸν ἡμῖν αἴτει καὶ τῶν πολλῶν ἄφεσιν, ἐγκλημάτων παρὰ Κυρίου, θεῖε Λεόντιε, ὁ Ἀθλοφόρων λαμπρῶν, ἀγλαϊζόμενος δόξῃ, καὶ σὺν τούτοις ἅπασιν, ἀγαλλιώμενος.

Ἐναθλήσας νομίμως ὡς τοῦ Χριστοῦ ἄριστος, στρατηλάτης λύτρωσαι τάχος, μάκαρ Λεόντιε, ἐξ ἀῤῥωστίας δεινῆς, καὶ χαλεπῆς ἀνομίας, τοὺς πιστῶς προστρέχοντας, σκέπῃ τῇ θείᾳ σου.

Ὁλοτρόπως ὑπήχθην φεῦ Ἀθλητὰ πάγκαλε, τοῦ ἐχθροῦ ἀπάτῃ σὸς τάλας, πρόσφυγξ τῆς χάριτος· ἀλλὰ θαῤῥῶν σοι βοῶ, τῆς κακουργίας με ῥῦσαι, τῆς αὐτοῦ Λεόντιε, σαῖς παρακλήσεσι.

*Θεοτοκίον*

Μὴ λιπὼν τὰ ἐν πόλῳ ὁ Λυτρωτὴς Δέσποινα, ὅλος ἐν τῇ θείᾳ Σου μήτρᾳ, Μῆτερ ἐσκήνωσε· δι’ εὐσπλαγχνίαν πολλήν, καὶ Παραδείσου ἀνοίξας, πύλας τὸ ἀνθρώπινον, γένος ἐθέωσε.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις Λεόντιε Ἀθλοφόρε, ἐκ παγίδων τοῦ πονηροῦ κινδύνων καὶ θλίψεων, τοὺς πρόσφυγας πάντας τῆς χάριτός σου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Πρεσβεύειν Χριστῷ μὴ παύσῃ ἐλεήμονι, διδόναι ἡμῖν πταισμάτων ἀπολύτρωσιν, καὶ κατ᾽ ἄμφω δύναμιν, ἀντιστῆναι πλάνῃ τοῦ ὄφεως, τοῖς σὲ τιμῶσι πίστει ἀκλινεῖ, Λεόντιε Μάρτυς ἀκατάβλητε.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὅπλῳ πίστεως ἔπαρσιν, τῶν ἀθέων πτήξας στεῤῥὲ Λεόντιε, τὰ πυρίμορφα ἀφάνισον, βέλη καθ᾽ ἡμῶν τοῦ πολεμήτορος.

Λέων ὡς ὠρυόμενος, ἐκχυθεὶς Λεόντιε εἰς τὰ σκάμματα, καὶ ἐχθρὸν σπαράξας ἄθεον, γέγονας πιστῶν προστάτης ἔνθεος.

Οὐ πτοοῦμαι τὰ θήρατρα, βοηθόν σε ἔχων τοῦ παναλάστορος, Ἀθλητὰ Χριστοῦ Λεόντιε, ὁ ποσὶ πατήσας κράτος ἄθεον.

*Θεοτοκίον*

Γηγενῶν παραμύθιον, καὶ θερμὴ προστάτις ἐν βίου κλύδωσι, μὴ παρίδῃς με τὸν δείλαιον, τὸν ἀποζητοῦντα τὴν Σὴν εὔνοιαν.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἔχων πρὸς Θεόν, παῤῥησίαν καθικέτευε, δυσπραγίας πάσης ῥύεσθαι ἡμᾶς, τοὺς τιμῶντάς σε Λεόντιε ἀήττητε.

Νόσων καὶ παθῶν, ἀνωτέρους διαφύλαττε, τοὺς προστρέχοντας Λεόντιε ἀεί, τῇ σῇ χάριτι Μαρτύρων ἀγαλλίαμα.

Νύκτα ζοφεράν, τῆς ἀνόμου πολιτείας μου, ἀποδίωξον Λεόντιε βολαῖς, πρεσβειῶν σου πρὸς Θεὸν τὸν φωτοπάροχον.

*Θεοτοκίον*

Χάριν Μαριάμ, οὐρανόθεν πέμψον ἅπασι, τὴν Σὴν θείαν καὶ ὁδήγησον ἡμᾶς, μετανοίας πρὸς τὴν τρίβον τὴν σωτήριον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ῥανίδας μου, τῶν δακρύων σπόγγισον, σῶν ἐντεύξεων Λεόντιε μάκτρῳ, πρὸς τὸν Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, τὸν ἐν σταδίῳ τρανῶς δυναμώσαντα, σὲ καθελεῖν Ἀδριανοῦ, τοῦ τυράννου παράνομον φρύαγμα.

Ἰλύος με, ἁμαρτίας κάθαρον, ῥυπτικῇ σου πρὸς τὸν Κτίστην πρεσβείᾳ, ὁ ἐπιχρώσας αἱμάτων σου ῥείθροις, τὸν τῆς ψυχῆς σου χιτῶνα Λεόντιε, καὶ λαμπροχίτων εἰσελθών, εἰς τῆς δόξης τὰ πάμφωτα δώματα.

Συνάθλους σου, κραταιοὺς Θεόδουλον, στρατιώτην καὶ Ὑπάτιον δείξας, τριβοῦνον μάκαρ Λεόντιε σθένει,

τοῦ Παρακλήτου κἀμὲ δεῖξον δέομαι, τῶν οὐρανίων στρατιῶν, ἐν Ἐδὲμ μετὰ πότμον συνέστιον.

*Θεοτοκίον*

Τὸν νέμοντα, κατ᾽ ἀξίαν Δέσποινα, τῆς ἀφθίτου εὐφροσύνης τὰ γέρα, τοῖς ἐν σταδίῳ νομίμως ἀθλοῦσι, βιοτικῶν παλαισμάτων κυήσασα, ἱκέτευε ἀπονεμεῖν, καὶ τοῖς δούλοις τοῖς Σοῖς στέφος ἄφθαρτον.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις Λεόντιε Ἀθλοφόρε, ἐκ παγίδων τοῦ πονηροῦ κινδύνων καὶ θλίψεων, τοὺς πρόσφυγας πάντας τῆς χάριτός σου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τὰς ἀγλαΐας στεῤῥῶς ἀπωσάμενος, τῆς ἐπιγείου σου δόξης Λεόντιε, στρατάρχα Χριστῷ ἠκολούθησας, καὶ Μάρτυς γενόμενος ἄριστος, προστάτης πιστῶν ὤφθης ἔνθερμος.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.*

*Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε

οὖν φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσετε πῶς ἤ τι λαλήσετε. Δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τὶ λαλήσετε. Οὐκ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθαι μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἄθλησιν ὑπέμεινας, ὑπὲρ Κυρίου ἀρίστην, καὶ τοὺς λίθους σέβοντας, ᾔσχυνας ἐνστάσει σου, γενναιότατα, Μάρτυς Λεόντιε· ὅθεν χάριν εὗρες, δυσωπεῖν τὸν πανευΐλατον, Θεὸν τῆς κτίσεως, πάσης Ποιητὴν τὸν σοφώτατον, λυτροῦσθαι ἄχθους θλίψεων, καὶ δεινῆς μανίας τοῦ δαίμονος, τοὺς ἐπιζητοῦντας, προθύμως τὴν σεπτήν σου ἀρωγήν, καὶ θείαν πέμποντας αἴνεσιν, σὲ τῷ στεφανώσαντι.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὁλικῶς ἀτενίσαι τοῦ Χριστοῦ καὶ Σωτῆρος τὸ θεῖον πρόσωπον, ἀξίωσον τοὺς ὕμνοις, Λεόντιε τιμῶντας, σὲ ὡς Μάρτυρα ἔνθεον, τὸν νῦν γυμνοῖς ὀφθαλμοῖς, θεώμενον τὸν Κτίστην.

Νικηφόρως τελέσας τὸν ἀγῶνα ἐδέθης πασσάλοις Ἅγιε, Λεόντιε ἐξέσθης, δεινῶς καὶ ἐτανύσθης, ἐπὶ γῆς· ὅθεν μνήμην σου, ἀνευφημοῦντες λιτάς, τὰς σὰς ἐπιζητοῦμεν.

Ἀξιάγαστε Μάρτυς τῶν ἀγρίων παθῶν μου τὸ πῦρ κατάσβεσον, καὶ δρόσιον λιταῖς σου, Λεόντιε τὸ καῦμα, τῆς ψυχῆς μου κραυγάζω σοι, ὡς ἂν ὑμνῶ σε ἀεί, τὸν τοῦ Χριστοῦ ὁπλίτην.

*Θεοτοκίον*

Ξενωθέντα τῶν κόλπων τῶν πατρώων Παρθένε ἀχρεῖον δοῦλόν Σου, τὸν ἐν τῇ ἁμαρτίᾳ, τὸν βίον δαπανῶντα, ἐπιστρέψαι βοήθησον, ἰσχύϊ Σῇ παναλκεῖ, εἰς τοῦ πατρός μου οἶκον.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ἰδίαις κόραις, τὸν Βασιλέα τῆς δόξης, ὁ θεώμενος νῦν ἐν τῷ πόλῳ, πρέσβευε Κυρίῳ, ὑπὲρ τῶν σὲ ὑμνούντων.

Ὁ καταυγάσας, τὴν οἰκουμένην ἀκτῖσι, τῶν σῶν ἄθλων Λεόντιε σκότος, σκέδασον παθῶν μου, τῶν χαμαιζήλων Μάρτυς.

Σταυρὸν ἐπ᾽ ὤμων, τοὺς σὲ ἀεὶ ἀνυμνοῦντας, ἀγογγύστως Λεόντιε φέρειν, ὥσπερ στρατιώτην, ἀξίωσον Κυρίου.

*Θεοτοκίον*

Οἱ τῶν μερόπων, χοροί Σε Μῆτερ ἁγία, μακαρίζομεν εἰς τοὺς αἰῶνας, καὶ τῇ χάριτί Σου, προστρέχομεν τῇ θείᾳ.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Νικῆσαι τὸν βελίαρ, καταξίωσόν με, ὁ τροπωσάμενος Μάρτυς Λεόντιε, τοὺς βδελυρὰ προσκυνοῦντας θεῶν ἀγάλματα.

Μεθέξει ζωηφόρῳ, ὢν τεθεωμένος, ὡς Ἀθλητὴν στεφανίτην Λεόντιε, τοὺς σὲ τιμῶντας πολίτας Ἐδὲμ ἀνάδειξον.

Ἐλαύνεις ἐμπυρέτους, νόσους σῇ δυνάμει, καὶ ἰατρεύεις δεινὰ ἀσθενήματα, σημειοφόρε Κυρίου ἀμνὲ Λεόντιε.

*Θεοτοκίον*

Χαρᾶς ἀστασιάστου, τῶν πιστῶν ταμεῖον, καὶ τῆς μερόπων θεώσεως πρόξενε, Θεοκυῆτορ εἰρήνης ἀφάτου πλῆσόν με

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν

Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις στρατηλάτα τοῦ Ἰησοῦ, ὁ κατανικήσας, ἀγαλμάτων τοὺς μιαρούς, λάτρεις καὶ κρατύνας, τῶν εὐσεβῶν χορείας, Λεόντιε Μαρτύρων, πάντιμον κόσμημα.

Χαίροις εὐσεβείας ἡδυτερπές, κρίνον καὶ Αἰγίνης, ἐγκαλλώπισμα εὐκλεές· χαίροις Ἀθλοφόρων, ἀγλάϊσμα τὸ μέγα, Λεόντιε ἀνδρείας, θέμεθλον ἄσειστον.

Χαίροις ὁ Κυρίῳ προσενεγκών, Ἀθλητῶν δυάδα, τὸν Θεόδουλον τὸν κλεινόν, καὶ τριβοῦνον θεῖον, Ὑπάτιον φωσφόρε, Λεόντιε στρατάρχα, πίστεως ἄλκιμε.

Ξίφους καθυπέμεινας τὴν ἀκμήν, τοῦ πυρὸς τὸ καῦμα, τὴν ἀνάρτησιν τὴν δεινήν, ἐπὶ ξύλου Μάρτυς, τὴν ξέσιν τοῦ σαρκίου, καὶ λίθου διὰ πίστιν, βάρος Λεόντιε.

Ἀθλητὰ Κυρίου θαυματουργέ, νόσους ἐμπυρέτους, ἐκδιώκεις ἐκ τῶν πιστῶς, ἐπικαλουμένων, τὸ θεῖον ὄνομά σου, Λεόντιε γενναῖε, πίστεως πρόβολε.

Δέχου τὰς αἰτήσεις ὡς συμπαθής, τῶν σοὶ προστρεχόντνω, ἐκ κινδύνοις καὶ συμφοραῖς, Ἀθλοφόρων κλέος, Λεόντιε τρισμάκαρ, ὁ ἐξαστράψας ἄθλων, θείων πυρσεύμασι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Ἔχων, παῤῥησίαν πρὸς Θεόν, ὡς Αὐτοῦ ὁπλίτης γενναῖος, ὁ ἐν σταδίῳ ἐχθρόν, φαῦλον τροπωσάμενος, καὶ τὸ πανάγιον, ἀποχύσας Λεόντιε, καὶ θεῖόν σου αἷμα, πρέσβευε δεόμεθα, διδόναι ἅπασι, δύναμιν ἐν μάχαις τοῦ βίου, καὶ ἰσχὺν πατῆσαι τὸν πλάνον, τοῖς ἀνευφημοῦσί σου τὰ σκάμματα.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

